μὲν ἀνωμάλως αὐτὰ κινεῖσθαι ποτὲ μὲν στήκτοντα, ποτὲ δὲ προποδίζοντα, ποτὲ δὲ ὑποποδίζοντα, ὡς οἱ ἀστρονόμοι οὕτω καλοῦσι, τὸ ἐφ' ἑνὸς ἵστασθαι σημείου, καὶ τὸ πρόσω κινεῖσθαι, καὶ τὸ ἀνάπαλιν φέρεσθαι καλοῦντες οὕτω, τῇ δ' ἀληθείᾳ μὴ ἀνωμάλως ἔχειν. Ἀλλὰ μὴν οὐδὲ τὸ ὅλον οὐράνιον σῶμα ἐγχωρεῖ μεταβάλλειν ἐν τῇ κινήσει ὥστε ἐξ ἐπιτάσεως αὖθις ἀνίεσθαι· ἡ γὰρ ἄνεσις ἀκολουθεῖ δι' ἀδυναμίαν· ἡ δὲ ἔκστασίς ἐστι τοῦ κατὰ φύσιν, καὶ παρὰ φύσιν ἐστίν· ἐπὶ δὲ τοῦ πρώτου καὶ οὐρανίου σώματος τὸ παρὰ φύσιν οὐκ ἔστιν· ἁπλᾶ γὰρ τὰ κατ' αὐτὸ καὶ ἄμικτα καὶ ἐνοειδῆ καὶ κατὰ χώραν ἔχει, καὶ οὐδὲν ἐν αὐτοῖς ἐναντίον. Δείκνυσι δὲ ἀδύνατον εἶναι καὶ ἀπ αὐτοῦ τοῦ κινοῦντος· οὔτε γὰρ ἐν ἀπείρῳ χρόνῳ ἐπιτείνεσθαι τὴν αὐτοῦ δύναμιν ἐν τῷ κινεῖν καὶ ἐν ἀπείρῳ αὖθις ἀνίεσθαι δυνατόν, οὔτε τῷ ἀπείρῳ τὸ παρὰ φύσιν προσήκει, οὔτε ἐν ὡρισμένοις χρόνοις δυνατόν.

| Ὅτι καὶ οἱ ἀστέρες τῆς αὐτῆς εἰσι τῷ οὐρανῷ φύσεως. Καὶ οἱ ἐκ f. 199v
πυρὸς γὰρ τὴν τοῦ οὐρανοῦ οὐσίαν ὑποτιθέμενοι καὶ τὰ ἄστρα πύρινα ὑπετίθεντο διὰ τὸ δεῖν αὐτὰ τῆς αὐτῆς εἶναι τῷ περιέχοντι καὶ συμπεριφέροντι φύσεως. Ὅτι δὲ τὰ ἄστρα μὴ ὄντα πύρινα ἐκπυροῦσι τὰ ὑπ' αὐτὰ σώματα καὶ τὸ φωτιστικὸν ἔχουσι, τοῦτ' ἐξ ἀνάγκης γίνεται διὰ τὴν παράτριψιν τῆς κινήσεως· ὃ δῆλόν ἐστιν ἐπὶ τῶν ξύλων καὶ λίθων καὶ σιδήρων τῇ σφοδρᾷ ἐκπυρουμένων κινήσει· καὶ ἐπὶ τῶν φερομένων τοῦτο ἐνίοτε βελῶν γίνεται, ὥστε καὶ τὰς μολυβδίδας αὐτὰς τήκεσθαι, καθ' ἃς ὁ σίδηρος τῷ ξύλῳ συνάπτεται. Οὕτως οὖν καὶ ὑπὸ τῆς ἀστέρων κινήσεως καὶ ἐκτρίψεως ὁ πέριξ ἐκπυροῦται ἀὴρ καὶ τὰ ὑποκάτω σώματα ταχύτατα κινούμενα. Κἀκεῖνα μὲν οὐκ ἐκπυροῦνται τὰ οὐράνια σώματα, τὰ ἄστρα δηλονότι, μὴ πεφυκότα πάσχειν οὐδ' ἀλλοιοῦσθαι· τοῖς δ' ὑποκάτω σώμασιν ἐκπυροῦσθαι συμβαίνει, καὶ μάλιστα ὅταν ἐκεῖνα πλησιάζῃ μᾶλλον τούτοις τοῖς κάτω φερόμενα πλησιέστερον, ὡς ὁ ἥλιος κατὰ κορυφὴν τοῖς βορειοτέροις προσγινόμενος μέρεσιν.

Ὅτι ἡ γῆ ἠρεμεῖ, οἱ δὲ ἀστέρες αὐτοὶ μὲν ἠρεμοῦσιν· κινουμένων δὲ τῶν κύκλων ἐφ' ὧν ἔστιν ἕκαστος, συμπεριφέρονται· σφαιροειδεῖς γάρ εἰσιν ὡς μὴ μόνον φύσεως τῷ οὐρανῷ, ἀλλὰ καὶ σχήματος κοινωνοῦντες, ὡς δέδεικται. Τῶν δὲ σφαιρικῶν δύο κινήσεις εἰσί, κύλισις καὶ δίνησις, ὧν κατ' οὐδετέραν μεθίστανται. Εἰ μὲν γὰρ ἐδινοῦντο, ἔμενον ἂν ἐν ταὐτῷ καὶ οὐ μεθίσταντο· ἀλλὰ φαίνονται μεταβάλλοντα τοὺς τόπους καὶ μεθιστάμενα· δίνησις γάρ ἐστιν ἡ περὶ τὸν αὔξονα στροφή, ἀκινητοῦντος τοῦ κέντρου καὶ μένοντος. Εἰ δὲ φαίνεται δινούμενος ὁ ἥλιος, οὐκ αὐτός ἐστιν ὁ δινούμενος, ἀλλ' ἡ ὄψις ἀποτεινομένη μακρὰν αὐτὴ μᾶλλον ἑλίσσεται δι' ἀτονίαν τῆς τοῦ ὁρωμένου καταλήψεως ὡς πλεῖστον ἀφεστηκότος. Οὕτω καὶ οἱ μὲν πλανῆται οὐ δοκοῦσι στίλβειν, ἐγγυτέρω ὄντες καὶ καθικνουμένης αὐτῶν τῆς ἡμῶν ὄψεως. Πρὸς δὲ τοὺς ἀπλανεῖς πλεῖον



Ε.Υ.Δ.Π.Ν.Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

διεστηκότας ἡ ὄψις ἐξατονοῦσα βραδύνεται καὶ δοκεῖ τὸ πάθος ἐν τοῖς ὁρωμένοις εἶναι. Οὐδὲν δὲ διαφέρει περὶ τὴν ὄψιν ἢ τὸ ὁρώμενον εἶναι τὴν κίνησιν πρὸς τὸ οὕτω δοκεῖν κινεῖσθαι, ἐπεὶ καὶ οἱ τοὺς αἰγιαλοὺς παραπλέοντες φαντάζονται τὰς τοπικὰς θέσεις μᾶλλον κινεῖσθαι καὶ παραμείβειν αὐτούς, οὐκ αὐτοὶ παραμείβειν ἐκεῖνα καὶ παραπλεῖν. Εἰ δὲ μόνος ὁ ἥλιος τῶν ἄστρων δινεῖσθαι δοκεῖ διὰ τὴν ὑπερβολὴν τῆς
f. 200 λαμπρότητος, | τοῦτο γίνεται, ἀσθενείας ἐγγινομένης τῇ ὄψει ἀπ' αὐτῆς, καὶ ἀνατέλλων καὶ δύνων μάλιστα δοκεῖ διὰ τὸ πρόσγειος ὁρᾶσθαι διὰ παραμένουσαν αὐτὴν τὴν γῆν ἠρεμοῦσαν. Οὕτω μὲν οὖν δῆλον μὴ δινεῖσθαι τὰ ἄστρα. Ἀλλὰ μὴν οὐδὲ κυλίονται· τὸ γὰρ κυλιόμενον στρέφεται. Ἡ δὲ σελήνη τὸ αὐτὸ πρόσωπον δείκνυσι τοῖς ἐν γῇ ἡμῖν, εἴτε ὁλόφεγγος εἴη, εἴτε καὶ μή· καὶ οὐ δείκνυσι καὶ θάτερον, τὸ ἐν τῷ ἄλλῳ αὐτῆς ἡμισφαιρίῳ δηλονότι, ὅπερ ἐξ ἀνάγκης ἄν, εἰ ἐκυλίετο. Τὸ δ' αὐτὸ καὶ περὶ τῶν ἄλλων δεῖ νοεῖν ἄστρων. Ἐπεὶ τοίνυν οὔτε δινοῦνται, οὔτε κυλίονται, οὐκ ἄρα ἐνδέχεται κινεῖσθαι τοὺς ἀστέρας καὶ μεθίστασθαι, ἠρεμοῦντος καὶ μενόντος τοῦ οὐρανοῦ. Ἐπεὶ οὖν ἔδει τὸν μὲν οὐρανὸν ὅλον περὶ αὑτὸν στρέφεσθαι μέν, μένειν δὲ ἀεὶ ἐν τῷ αὐτῷ, τοὺς δὲ ἀστέρας πάντη ἀκινητεῖν, τούτου χάριν ἡ φύσις ἀπεκλήρωσεν αὐτοῖς τὰ σφαιρικὰ σχήματα. Εἰ δὲ τὴν πορευτικὴν εἶχον καὶ κατὰ τόπον μεταβατικὴν κίνησιν, εἶχον ἂν καὶ ὄργανα συνημμένα τοῖς σώμασι τοιαύτῃ πρέποντα κινήσει, ἐπεὶ τὸ σφαιρικὸν ἀπᾷδον ἂν ἦν καὶ ἡ φύσις οὐδὲν μάτην ἂν ἐποίει. Καὶ ταῦτα ἐπὶ τῶν θειοτέρων, ὅπου γε καὶ τοῖς ὑποδεεστέροις τὰ τοιαῦτα οἰκείως πεφρόντικεν.

Ὅτι οὐδὲ ψόφος τις ἐναρμόνιος ἐκ τῆς κινήσεως τῶν οὐρανίων γίνεται σωμάτων διὰ τὰς ἀναλόγους ἀποστάσεις αὐτῶν καὶ τὰ διάφορα τάχη τῶν κινήσεων αὐτῶν κατὰ λόγον, ὡς οἱ Πυθαγόρειοι κομψῶς μέν, οὐκ ἀληθῶς δὲ λέγουσιν. Εἰ καὶ μὴ αἰσθανόμεθα, φασί, τῶν ψόφων καὶ τῶν συμφωνιῶν διὰ τὸ ἀπὸ γενέσεως ἡμῶν εὐθὺς αὐτοῖς συνειθίσθαι καὶ μὴ δύνασθαι διακρίνειν τῇ παραθέσει καὶ μεταστάσει τῆς τε φωνῆς καὶ τῆς σιγῆς. Ὅτι δὲ ψεύδονται, δῆλον· οὐ γὰρ μόνον οὐκ ἀκούομεν τῶν ψόφων αὐτῶν, ἀλλ' οὐδὲ φαίνεται τὰ τῇδε σώματα βίαιόν τι πάσχοντα ὑπ' αὐτῶν διακναιόμενα, ὥσπερ ὁρῶμεν ὑπὸ τῶν τῆς βροντῆς ψόφων ῥηγνύμενα καὶ τὰ στερρότατα τῶν σωμάτων διὰ τὴν βιαίαν φορὰν τοῦ πνεύματος ἐκεῖθεν ὠθουμένου τε καὶ ἐμπίπτοντος. Τῶν δ' οὐρανίων σωμάτων τῷ ἀπαραμίλλῳ καὶ μεγέθει καὶ τάχει ψοφούντων ἄν, καὶ πολλῷ μᾶλλον ἐγίνετο τοῦτο. Οὔτε τοίνυν αἰσθανόμεθα τῶν τοιούτων ψόφων, οὔτε γίνονται καὶ εἰσὶν οἱ τοιοῦτοι ψόφοι, ἐπεὶ μηδὲ κινεῖται τὰ οὐράνια σώματα τοιαύτῃ κινήσει. Τὰ μὲν γὰρ ἰδίως καὶ καθ' αὑτὰ φερόμενα ψόφον ποιεῖ καὶ πληγὴν
f. 200v ἐνίοτε ὑπὸ τῆς βίας ὠθουμένου | τοῦ πνεύματος. Ὅσα δὲ ἐν φερομένῳ ἐνδέδεται καὶ συμφέρεται τοῖς φερομένοις, ὡς τὰ ἄστρα ἐλέγετο, ἢ ὅσα

ἐνυπάρχει τοῖς φερομένοις ὡς μόρια αὐτῶν, ὡς τὰ μόρια τοῦ πλοίου ἐν αὐτῷ φερομένῳ, οὐχ οἷόν τε ψοφεῖν· καὶ τὸ πλοῖον αὐτό, εἰ ἐν ποταμῷ φέροιτο φερομένῳ καὶ καταρρέοντι, οὐ ψοφεῖ· ὡς μόριον γάρ τι αὐτοῦ ὥσπερ συμπεριφέρεται. Ὅτε τοίνυν οὐδὲ ψόφος γίνεται, τῶν ἀστέρων κινουμένων, δῆλον ὡς οὔτε ἔμψυχον εἴτουν αὐτοκίνητον φέρεται τὰ ἄστρα φοράν, οὔτε βιαίαν, ὥσπερ τὰ ὠθούμενα καὶ ῥιπτούμενα. Καὶ ἔοικε, φησίν, ἡ φύσις εἴτουν ὁ δημιουργὸς προνοητικῶς τοῦτο καταστήσασθαι τὸ ἀκίνητον τῶν ἀστέρων, ὡς εἰ μὴ τοῦτον εἶχε τὸν τρόπον, πάντας ἂν ἦν τὰ τῇδε ἐν πάθεσι μυρίοις ἀεί, καὶ οὐδὲν ἂν οὐδέποτε ὁμοίως εἶχε καὶ ἀμεταβλήτως.

Ὅτι τὰ περὶ τῆς τάξεως τῶν σφαιρῶν τοῖς περὶ τὴν ἀστρολογίαν δαίμοσι παρίησιν ἱκανώτερον λέγειν. Αὐτὸς δὲ φησὶ συνεπτυγμένως, ὅτι μετὰ τὴν πρώτην καὶ ἁπλῆν καὶ ταχίστην περιφορὰν ἀπ' ἀνατολῶν ἐπὶ δυσμάς, ἡ τοῦ Κρόνου ἐγγυτάτω ταύτης ἐστί, βραδυτάτη τῶν ἄλλων· ἐν γὰρ τριάκοντα ἔτεσιν ἀποκαθίσταται· ἡ δὲ πορρωτάτω τῆς πρώτης ἐσχάτη τε τῶν ἄλλων, ἡ τῆς σελήνης, τάχιον ἁπασῶν τῶν ἄλλων διὰ μηνός· τῶν δὲ μεταξὺ ἄλλη ἄλλης τάχιον καὶ βραδύτερον. Καὶ γὰρ ἀνάπαλιν φερομένων ἁπασῶν τῇ πρώτῃ, ὡς εἴρηται, ἀπὸ δυσμῶν ἐπ' ἀνατολὰς δηλονότι, αἱ μὲν ἐγγύτερον αὐτῆς ἀντιφερόμεναι βράδιον κινοῦνται διὰ τὸ κρατεῖσθαι μάλιστα αὐτὰς ὑπὸ τῆς πρώτης ἢ αἱ πορρωτέρω· αἱ δὲ πορρωτέρω τάχιον ἀναλόγως τῇ πρὸς αὐτὴν ἀποστάσει διὰ τὸ μὴ κρατεῖσθαι ὡσαύτως ταῖς ἐγγυτέρω.

Ὅτι ζητεῖ μετὰ τῆς συνήθους εὐλαβείας οὑτωσὶ ὑψηλοτέρων καὶ μὴ εὐπορίστων τῇ καταλήψει, καὶ διορίζεται δύο ταῦτα περὶ τῶν ὑπὸ τὴν πρώτην σφαιρῶν· πρῶτον μὲν διατί, τοῦ πρώτου σφαιρικοῦ σώματος, ἐν ᾧ οἱ ἀπλανεῖς ἀστέρες, μίαν κινουμένου φοράν, οὐ τὰ πλησίον αὐτοῦ, ἐν οἷς οἱ πλανώμενοι, τὰς ἐλάττους κινοῦνται μᾶλλον, ὡς ὁ ἥλιος καὶ ἡ σελήνη τὰς ἐλάττους κινοῦνται, καίτοι πόρρω τοῦ πρώτου σώματος ὄντα. Ἔδει γὰρ ταῦτα πλείους κινεῖσθαι μᾶλλον ὡς πορρώτερον ὄντα, Κρόνου δὲ τὴν σφαῖραν καὶ τὰ ἄλλα ἐλάττους ὡς ἐγγύτερον ὄντα τῷ πρώτῳ σώματι. Φησὶ δὲ τὸν ἥλιον καὶ τὴν σελήνην πορρωτέρω τοῦ πρώτου σώματος, διότι ἐπὶ τῶν Ἀριστοτέλους καιρῶν ὑπὲρ τὴν σελήνην προσεχῶς τὴν τοῦ ἡλίου σφαῖραν | τετάχθαι πάντες ἐφρόνουν καὶ τὰς τῶν πλανητῶν σφαίρας f. 201
ὑπερκεῖσθαι τῆς ἡλιακῆς, ἕως οἱ ὕστεροι μαθηματικοὶ καὶ Πτολεμαῖος ἄμεινον ἐπιστήσαντες μεταξὺ τῆς σελήνης καὶ τοῦ ἡλίου τὴν τοῦ Ἑρμοῦ καὶ τῆς Ἀφροδίτης τετάχθαι λέγουσιν. Ἥλιος μὲν οὖν καὶ σελήνη καὶ αἱ κατ' αὐτοὺς σφαῖραι δύο μόνας φέρονται φοράς, τήν τε καθόλου καὶ πρώτην, ἣν καὶ αἱ ἄλλαι τῇ πρώτῃ πᾶσαι συμφέρονται, καὶ τὴν οἰκείαν ἁπλοϊκῶς οὕτως ὡς ὁρᾶν ἔστιν ἀνάπαλιν τῇ πρώτῃ. Οἱ δὲ πέντε πλανῆται ταύτας τε ἄμφω καὶ ἰδίως προποδίζουσι καὶ στηρίζουσι καὶ ὑποποδίζουσι

Ε.Υ.Δ τ/ς Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Δεύτερον δὲ ζητεῖ διατί ἐν μὲν τῇ πρώτῃ σφαίρᾳ πλῆθος ἀναριθμήτων ἀστέρων, ἐν δὲ ταῖς ἑξῆς καθ' ἑκάστην ἓν μόνον ἄστρον ἐνδέδεται.

Ἐπιλυόμενος τοίνυν λέγει περὶ τοῦ πρώτου, ὅτι περὶ τῶν οὐρανίων καὶ θείων σωμάτων οὐχ ὡς περὶ ἀψύχων δεῖ πραγματεύεσθαι, ἀλλ' ὡς ζωῆς καὶ πράξεως καὶ λόγου μετεχόντων καὶ τὴν τοῦ πράττειν κατὰ λόγον ἐχόντων δύναμιν. Τὸ μὲν γὰρ πρῶτον αἴτιον καὶ πρῶτον κινοῦν ἄνευ τινὸς πράξεως καὶ διεργασίας καὶ κινήσεως ἄριστα ἔχει ὡς αὐτοαγαθὸν καὶ οὐ κατὰ μετοχήν· τὰ δὲ ἄλλα δεῖται καί τινος ἐνεργείας πρὸς τὴν μετουσίαν τοῦ ἀγαθοῦ, τὰ μὲν ἐλαχίστης διὰ τὸ ἐγγυτάτω καὶ αὐτὰ εἶναι τῆς πρώτης αἰτίας, ὡς ἡ πρώτη τοῦ σώματος φορά, ἐν ᾧ οἱ ἀπλανεῖς εἰσίν· τὰ δὲ πλειόνων ἐνεργειῶν δεῖται, καὶ θαυμάζειν οὐ δεῖ· τὸ γὰρ ἔμψυχον καὶ σύνθετον ἐνταῦθα σῶμα, τὸ μὲν οὕτως εὐγενῶς ἔχει καὶ ἀνενδεῶς ὡς μηδενὸς δεῖσθαι συμμαχοῦντος πρὸς τὸ ὑγιαίνειν, τὸ δὲ καὶ γυμνασίας δεῖται τινός, τὸ δὲ πρὸς τούτοις καὶ δρόμου καὶ πάλης καὶ ἀγωνίας, τὸ δὲ κἂν ὁποσαοῦν τις ποιήσειεν, οὐχ ἱκανῶς ἔχει πρὸς τὸ εὖ εἶναι. Οὕτω δὴ καὶ ἡ τοῦ ἀγαθοῦ ἕξις, τοῖς μὲν ἄνευ ἐνεργείας, τοῖς δὲ δι' ἐνεργειῶν διαφόρως ἐπιγενομένων. Ἔτι δὲ καὶ χαλεπὸν μέν ἐστι τὸ πολλὰ κατορθοῦν, ἢ πολλάκις, καὶ ἔστι τοῦτο τῶν τὴν ἕξιν ἰσχυροτέρων, ὡς τοὐναντίον τῶν ἀτονωτέρων ἐστίν. Ζῴοις μὲν γὰρ δι' ὀλίγων τὸ πράττειν, καὶ ἧττον ἡ φύσις ἔχει καὶ ἀνικάνως εἰς τὸ εὖ ἔχειν. Διὰ τοῦτο καὶ δι' ἐλαττόνων αὖ τοῖς φυτοῖς. Ἄνθρωπος δέ, τελειοτέραν ἔχων τὴν ἕξιν, πολλὰ καὶ πολλάκις πράττειν οἷός τέ ἐστιν, καὶ ἄλλο ἄλλου ἕνεκεν, καὶ ἐν ἑνὶ μὲν ἐπιτυγχάνειν οὐ μέγα, ἐν πλείοσι δὲ ὅσῳ χαλεπώτερόν ἐστιν, τοσούτῳ καὶ μεῖζον τὸ κατορθοῦν. Οὕτως οὖν καὶ ἐπὶ τοῦ f. 201v | νῦν ἡμῖν εἰς ζήτησιν προκειμένου, τὸ μὲν ἄριστα ἔχον, τὸ πρῶτον αἴτιον δηλονότι καὶ πρῶτον θεῖον καὶ οὗ πάντα ἤρτηται, ἀνενδεές· αὐτὸ γάρ ἐστι τὸ αὐτοὸν καὶ τὸ οὗ ἕνεκα· ὅθεν ἄνευ δή τινος πόνου ἔχει καὶ μετέχει τοῦ ἀγαθοῦ· τὰ δ' ἄλλα μετ' ἐνεργείας τινὸς καὶ κινήσεως τυγχάνει τοῦ ἀγαθοῦ· καὶ τὰ μὲν μετὰ μιᾶς καὶ ὀλίγης, τὰ δὲ μετὰ πλειόνων τε καὶ ποικίλων· καὶ αὖθις τὸ μὲν δι' ὀλίγης κινήσεως, ἐγγὺς ὁπῃοῦν ἔχει γενέσθαι τοῦ ἀγαθοῦ, οὐ τελείως αὐτοῦ μετασχεῖν· τὸ δὲ καὶ παντάπασιν ἀκινήτως ἔχει πρὸς τὴν τοῦ ἀγαθοῦ μετουσίαν· ὥστε τὸ ἀκίνητον διπλοῦν εἶναι, τό τε μὴ δεόμενον ἐργασίας καὶ πόνου πρὸς τὸ τυχεῖν τοῦ ἀγαθοῦ, αὐτοὸν καὶ ἀγαθὸν κυρίως τυγχάνον, καὶ τὸ ἀργὸν πάντῃ καὶ ἀνίκανον εἰς τὴν τοῦ ἀγαθοῦ ἕξιν· ὡσαύτως διπλοῦν εἶναι καὶ τὸ κατὰ βραχεῖαν κίνησιν θεωρούμενον, ἢ ὅτι οὐχ ἱκανῶς ἔχον τελείως μετασχεῖν, οὐδὲ πολλὰ ἐνεργῆσαι πέφυκεν, ἀλλ' ἧττον κινούμενον καὶ ἐνεργοῦν, πέφυκε καὶ ἀτελῶς αὐτοῦ μετέχειν καὶ ἀμυδρῶς· τὰ δὲ μεταξὺ διὰ πολλῶν ἐνεργειῶν καὶ κινήσεων μετέχει καὶ τοῦ ἀγαθοῦ μήσθ.. (!), ὥσπερ καὶ ἐν ὑποδείγματι τῆς μὲν ὑγείας τοῦ σώματος, ὃ μὲν τυγχάνει ἀπόνως,

Ε.Υ.Ζ... Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἄριστα τοῦ σώματος ἔχοντος· τῷ δὲ ἅπαξ δεῖ ἰσχνύνσεως διαίτῃ ἢ φαρμάκοις ὥστε τῆς ὑγείας τυχεῖν· τῷ δὲ καὶ γυμνασιῶν πολλῶν· τῷ δὲ καὶ μετὰ τούτων οὐκ ἔνεστιν αὐτὴν ἐπαναλαβεῖν, ὥσπερ δὴ καὶ προείρηται. Οὕτω δὴ μετὰ τὸ πρῶτον καὶ ἀκίνητον ἀγαθὸν καὶ αὐτοὸν ἐν τῇ ἀρίστῃ ἕξει, ὁ μὲν πρῶτος οὐρανὸς μιᾷ κινήσει τοῦ αὐτῷ βελτίστου τυγχάνει· αἱ δὲ ὕστεραι τῶν πλανητῶν σφαῖραι διὰ πλειόνων κινήσεων· ἡ δὲ τοῦ ἡλίου καὶ τῆς σελήνης σφαῖρα, κατὰ τὴν προειρημένην τῶν ἀρχαίων περὶ αὐτῶν δόξαν ἀμφοτέρων, ἀδυναμίᾳ πλειόνων κινήσεων καὶ ἧττον τυγχάνει τῆς ἀκραιφνοῦς τελειότητος. Τὰ δὲ ὑπὸ σελήνην καὶ πάντῃ τῆς θειοτέρας καὶ περὶ τὸ θεῖον ἐν κύκλῳ κινήσεως ἀφέστηκε καὶ ἐστέρηται. Καὶ οὕτω μὲν τὸ πρῶτον λύεται ζήτημα.

Πρὸς δὲ τὸ δεύτερον οὐ δεῖ θαυμάζειν· ἐπεὶ γὰρ τῶν πλανωμένων ἑκάστου πλείους, ὡς εἴρηται, θεωροῦνται φοραί, ἡ φύσις εὐτάκτως οὕτω διώρισεν τῇ μὲν μιᾷ φορᾷ τῆς ἀπλανοῦς πολλὰ σώματα ἀστέρων συμφέρεσθαι ὡς διὰ πάντων ὑπερεχούσῃ τὰς τῶν ἄλλων φοράς· | τῶν δὲ ὑπὸ f. 202
ταύτην ἑκάστῃ σφαιρῶν, ὡς τοῖς πᾶσιν ἐλαττουμένῃ πρὸς τὴν μεγίστην καὶ πρώτην, ἀρκεῖν ἐξ ἀναλόγου ἓν σῶμα, τῶν πλανωμένων ταύτῃ συμφέρεσθαι πλείους τε καὶ ἀντιθέτους φοράς· καὶ ἄλλως δέ, διὰ τὸ ἑκάστην σφαῖραν σῶμα εἶναι, αἱ ὑποκάτω σφαῖραι ὥσπερ ἐνδεδεμέναι ἀλλήλαις τε καὶ τῇ πρώτῃ καὶ συνεχόμεναι φέρονται, καὶ ἔστι μὲν ἑκάστῃ ἰδία φορά, ἡ κατ᾽ αὐτήν· ἐπίκεινται δ᾽ αὐτῇ ἐξ ἀνάγκης καὶ τὰ ὑπεράνω σφαιρικὰ σώματα καὶ διὰ τοῦτο, ἐργωδεστέρου ὄντος ταῖς ὑποκάτω τοῦ φέρεσθαι, ἱκανῶς ἓν σῶμα συμφέρουσιν ἑκάστη καὶ συγκινοῦσι πλανήτου· πᾶν γὰρ σῶμα πεπερασμένον, καὶ πεπερασμένην ἔχει τὴν δύναμιν, καὶ οὐ δύναται πλεῖον ἢ πέφυκεν ἐνεργεῖν.

Ὅτι περὶ τῆς γῆς τρία ζητητέον· ἐν τῷ παντὶ τίνα τόπον ἔχει· εἰ κινεῖται καὶ αὕτη, ἢ ἠρεμεῖ· καὶ τίποτέ ἐστι καὶ τὸ ταύτης σχῆμα. Περὶ τοῦ πρώτου τοίνυν ζητήματος οἱ πλείους τῶν πρὸ Ἀριστοτέλους ἐπὶ τοῦ μέσου τὴν γῆν ἔφασκον εἶναι, ὅσοι καὶ τὸ πᾶν πεπερασμένον ἐτίθουν· οἱ δ᾽ ἄπειρον τιθέντες οὐδὲ μέσον ἔλεγον· τί γὰρ ἂν εἴη μέσον ἀπείρου; οἱ δὲ περὶ τὴν Ἰταλίαν Πυθαγόρειοι τῷ πυρὶ τὸ μέσον ἀπεδίδουν ὡς τὸ τιμιώτατον τῷ τιμιωτάτῳ· γῆς μὲν γὰρ τὸ πῦρ τιμιώτερον, τοῦ δὲ μεταξὺ τὸ πέρας· τὴν δὲ γῆν περὶ τὸ μέσον ἔλεγον εἶναι καὶ ἄριστας ταύτης ἀντίχθονας, οὐκ εἰδότες ὡς ἄλλο μέν ἐστι τὸ τῷ μεγέθει μέσον, ἄλλο δὲ τὸ τῇ φύσει μέσον, ὡς ἡ καρδία. Ἐν δὲ τῷ μεγέθει φύσει τὸ περιέχον ἐστὶ τιμιώτερον. Καὶ περὶ τοῦ δευτέρου ζητήματος διαφόρως ἐδόξαζον. Οἳ μὲν γὰρ κινεῖσθαι ἔλεγον αὐτὴν περὶ τὸ μέσον, ὡς Πυθαγόρειοι· οἳ δὲ καὶ ἔτι τοῦ μέσου κειμένην, ὅμως κινεῖσθαι σφαιρικῶς, μᾶλλον δὲ εἱλεῖσθαι. Καὶ περὶ τοῦ τρίτου ζητήματος διαφόρως ἐδόξαζον. Οἳ μὲν γὰρ σφαιροειδῆ, οἳ δὲ πλατεῖαν ἐτίθουν καὶ τυμπανοειδῆ· καὶ οἳ μὲν

Ε.Υ.Δ. ... ΙΩΑΝΝΙΝΑ 2006

ἄπειρον τὸ κάτω τῆς γῆς ἔφασκον, ὡς Ἐμπεδοκλῆς· οἱ δὲ ἐπικεῖσθαι ταύτην τῷ ὕδατι, ὡς Θαλῆς, καὶ ἐπιπολάζειν, ὥσπερ τι τῶν πλωτῶν.

Τούτων τοίνυν τῶν περὶ γῆς δοξῶν καὶ ἄλλων εἰς πλάτος ἐλεγχθεισῶν, τίθησιν αὐτὸς τὴν ἑαυτοῦ ἅμα δὲ καὶ ἀληθῆ δόξαν· φησὶ γὰρ αὐτὸς τὴν γῆν μένειν ἐπὶ τοῦ μέσου, καὶ αἴτιον τῆς ἐν τῷ μέσῳ μονῆς ἐστιν ἡ κατὰ φύσιν εἰς τὸ μέσον αὐτῆς φορά· ὡς γὰρ πεφυκυῖα φέρεσθαι πρὸς τὸ μέσον ἀεί, ὡς καὶ τὸ πῦρ ἄνω πρὸς τὸ ἔσχατον· ὅθεν καὶ ἀδύνατον
f. 202v κινηθῆναί τι μόριον | αὐτῆς ἀπὸ τοῦ μέσου, ὅτι μὴ βίᾳ μόνον τινὶ τὸν μέσον ἀεὶ τόπον ἔχει ὅλη ἀκινήτως· καὶ εἰ μὲν ἐπὶ τοῦ μέσου ἀκίνητος ἦν, οὐκ ἂν τῶν ἀστέρων τὰ μεγέθη τὰ αὐτὰ καὶ ἴσα ἐφαίνετο τοῖς αὐτοῖς ἐπισκεπτομένοις. Εἰ γὰρ πρὸς δυσμὰς ἡ γῆ παρεφέρετο, μείζονα ἂν ἐφαίνετο δύνοντα ἤπερ ἐπὶ ταῖς ἀνατολαῖς ὁρῶνται· εἰ δὲ πρὸς ἀνατολάς, τοὐναντίον. Ἀλλὰ καὶ μεταβάλλοντες ὁρῶνται οἱ ἀστέρες τοῖς ἐν γῇ ἐν διαφόροις σχηματισμοῖς, καὶ θέουσιν οἱ αὐτοί, ὡς κειμένης ἐπὶ τοῦ μέσου τῆς γῆς ἀκινήτου. Ὅτι δὲ καὶ τὸ σχῆμα σφαιροειδής, δῆλον. Εἰ γὰρ ἐγίνετο ἡ γῆ κατά τινας, οὕτως ἂν εἶχε σφαιροειδῶς· ἐφέρετο γὰρ ἂν ποθεν αὐτῆς τὰ μόρια, ἕως ἂν περιλάβωσι τὸ μέσον πάντοθεν, συμπεδώμενα καὶ περιωθούμενα τὰ ἐλάττω ὑπὸ τῶν μειζόνων τῇ κατὰ φύσιν βίᾳ τῆς ῥοπῆς· καὶ εἰ ἀγένητός ἐστι, τὸν αὐτὸν ἔχειν ἀνάγκη τρόπον κατὰ τὸ σχῆμα καὶ σφαιροειδῆ εἶναι, ὥσπερ ἂν εἰ καὶ τηνάρχην γινομένη, τὸ εἶναι ἐλάμβανεν. Αἱ δὲ κατὰ μέρη κοιλότητες καὶ ἐξοχαὶ τῆς γῆς οὐδένα λόγον ἔχουσι πρὸς τὸ τοσοῦτο τοῦ ὅλου σώματος μέγεθος· οὐδὲ γὰρ εἰ κέγχρον τις ἐπιθείη μεγάλῃ σφαίρᾳ, κυρίως ἐναλλάττει τὸ σχῆμα διὰ τὴν τῆς κέγχρου βραχυτάτην ἐπανάστασιν. Ἔστιν οὖν φύσει σφαιροειδής, εἰ καὶ μὴ ἠκριβωμένη· ὅλη γάρ ἐστι σφαιροειδής, καὶ ὅλη τοῦτο φύσει βούλεται εἶναι. Δῆλον δὲ τοῦτο καὶ ἐντεῦθεν, ὅτι αἱ τῆς σελήνης ἐκλείψεις ἤγουν ἐκλειπτικαὶ ἀποτομαὶ οὐκ ἂν ἦσαν πᾶσαι κυρτοειδεῖς, ὡς ἑκάστοτε φαίνονται, εἰ μὴ ἡ τῆς γῆς περιφέρεια ἦν σφαιρική, ἧς ἐπιπροσθούσης αὐταὶ γίνονται· καὶ ὅτι, μικρᾶς γινομένης ἡμῖν ἐφ' ἑκάτερα, βόρειά τε δηλονότι καὶ νότια, τῆς παραχωρήσεως, ἕτεροι γίνονται συνεχῶς οἱ ὁρίζοντες, ὥστε τὰ ὑπὲρ κεφαλῆς ἡμῖν ἄστρα μεταβάλλοντα φαίνεσθαι· καί τινες τῶν ἀστέρων, προχωρούντων ἡμῶν εἰς τὰ νότια, φαίνεσθαι ἄρχονται, πρότερον μὴ φαινόμενοι, καὶ ὅσον ἂν προχωροῦμεν, εἰς ὕψος ἐξαίρονται. Ἅμα δὲ ἐντεῦθεν δῆλον καὶ ὅτι οὐ μέγα τὸ ταύτης μέγεθος· οὐ γὰρ ἂν οὕτω συντόμως καὶ παραβραχὺ ταύτης διάστημα, ἡ τῶν φαινομένων ἠκολούθει μεταβολή, μεγάλης οὔσης· ὅθεν καὶ οἱ συνάπτοντες τὸ περὶ τὰς Ἡρακλείους στήλας καὶ τὰ Γάσειρα ἀτλαντικὸν πέλαγος καὶ τὸν τόπον τῇ περὶ τὴν Ἰνδικὴν θαλάσσῃ καὶ γῇ καὶ μίαν εἶναι θάλασσαν ἐπ' ἀμφότερα τὰ μέρη λέγοντες, καίτοι πορρωτάτω τῶν τῆς οἰκουμένης
f. 203 | μερῶν ἀπ' ἀλλήλων ὄντα, καὶ σημεῖον ποιούμενοι, ὅτι περὶ ἄμφω τοὺς

τόπους τούτους ὁρῶνται ἐλέφαντες, οὐ πάνυ παραλόγως δοκοῦσι λέγειν. Ἐοίκασι γάρ, ὡς ἐν περιγραφῇ σφαίρας, οἱ τόποι οὗτοι πρὸς ἔσχατόν τι συνάπτειν ἕν, καὶ ἔγγιστά πως ἀλλήλων εἶναι· διὸ καὶ παρ' ἀμφοτέροις εἶναι τὴν τῶν εἰρημένων ζῴων ἄλυπον βίωσιν καὶ διαγωγήν. Ἀλλὰ καὶ οἱ μαθηματικοὶ τὸ τῆς περιφερείας τῆς γῆς μέγεθος εἰς τετταράκοντα μυριάδας σταδίων καταλογίζονται, ὅπερ οὐ μέγα πρὸς τὸ τοῦ ἡλίου μέγεθος, ὅπερ ἑκατονεβδομηκονταπλάσιον τῆς γῆς ἀποφαίνουσιν· καὶ ἄλλων ἀστέρων μείζω τὰ μεγέθη τοῦ ἡλιακοῦ μεγέθους εἰσίν: —

## Sur le livre III.

### Ἐκ τοῦ τρίτου.

Ὅτι μετὰ τὸν περὶ τοῦ οὐρανίου σώματος λόγον περὶ τῶν λοιπῶν τεσσάρων σωμάτων ἁρμόττει σκοπῆσαι, τῶν ὑπὸ σελήνην, ἃ καὶ δύο πως λέγονται καθόσον ἑνοῦνται τῇ ὁμοιότητι τῆς ἄνω κινήσεως, τὸ πῦρ καὶ ὁ ἀήρ· τὸ δὲ ὕδωρ καὶ ἡ γῆ τῇ ὁμοιότητι τῆς κάτω κινήσεως, ὥσπερ καὶ ἡ ἔξω σφαῖρα μετὰ τῶν ἔνδον σφαιρῶν, ἑνοῦνται τῇ κυκλοφορίᾳ, καὶ διὰ τοῦτο οὐρανὸς εἷς λέγονται πάντα ὁμοῦ, κυρίως οὐρανοῦ ὄντος τοῦ ἔξω. Ἐπεὶ δὲ ἡ γένεσις καὶ φθορὰ ἐν τοῖς σώμασι τούτοις ἐστὶ καὶ τοῖς ἐξ αὐτῶν γινομένοις συνθέτοις, προηγουμένως δεῖ σκοπεῖν περὶ γενέσεως εἰ ἔστιν ἐν τοῖς οὖσιν, ἢ μή· εἶτα καὶ τὰ λοιπὰ δεῖ περὶ αὐτῆς ζητεῖν τῶν ἐφεξῆς ζητουμένων, τοῦ εἰ ἔστιν, ἢ μή, πρώτου ζητήματος ὄντος. Καὶ πρῶτον τίθησι τοὺς περὶ Παρμενίδην καὶ Μέλισσον, παντάπασιν ἀναιροῦντας ἐκ τῶν ὄντων γένεσιν καὶ φθοράν· οὕτω δὲ καὶ τὴν φύσιν ἀναιροῦσιν, εἴπερ φύσις ἐστὶν ἀρχὴ κινήσεως. Τοῦτο δὲ ἐπεπόνθεσαν οἰόμενοι μόνα εἶναι ὄντα τὰ αἰσθητὰ καὶ οὐδὲν εἶναι ὑπὲρ αὐτά· ἐπιστήμης δὲ οὔσης περὶ τῶν ὄντων, δεῖ αὐτὰ μὴ εἶναι ἐν γενέσει καὶ φθορᾷ. Εἰ γὰρ τοιαῦτα εἴη, οὐκ ἂν εἴη ἐπιστήμη αὐτῶν. Ἕτεροι πάντα γενητά φασιν εἶναι καὶ οὐδὲν ἀγέννητον, ἐν οἷς καὶ Ἡσίοδος. Ἕτεροι πάντα γενητά, πλὴν ἑνός, οἳ μὲν ὕδωρ τοῦτο λέγοντες, οἱ δὲ ἀρχήν, οἱ δὲ ἄλλο, ὡς Ἡράκλειτος ὁ Ἐφέσιος. Οἱ δὲ Πυθαγόρειοι καὶ Πλάτων πᾶν γενητὸν σῶμα ἐξ ἐπιπέδων συντιθέασι καὶ εἰς αὐτὰ διαλύουσιν. Ἀντιλέγει δὲ πρώτοις τοῖς ὑστέροις, εἶτα καὶ τοῖς ἄλλοις τοῖς φυσικοῖς, οὓς καὶ μᾶλλον διαμαρτάνοντας δείκνυσιν, ὑποτιθεὶς ἄλλα τε καὶ ὅτι τὰ φυσικὰ καὶ αἰσθητὰ σώματα, ἢ πάντα, ἢ ἔνια | βάρος ἔχει, ἡ δὲ στιγμὴ οὐκ ἔχει· f. 203v
ἐκεῖνα γὰρ διαιρετά, αὕτη δὲ ἀδιαίρετος· καὶ ὅτι τὸ συντιθέμενον ἔκ τινος βάρος οὐκ ἔχοντος καὶ αὐτὸ ἀβαρές, καὶ τὸ συντιθέμενον ἐκ τῶν μὴ ἐχόντων βάρος οὐδ' αὐτὸ βάρος ἔχει· καὶ ὅτι ὅθεν βίᾳ καὶ παρὰ φύσιν ἐστὶ κίνησις, ἀνάγκη πρότερον εἶναι αὐτοῖς οἰκείαν τινὰ καὶ κατὰ φύσιν· καὶ ὅτι μία μὲν ἡ κατὰ φύσιν, πλείους δὲ αἱ παρὰ φύσιν, ὡς ἓν μὲν

πανταχοῦ τὸ ὀρθόν, αἱ δ' ἁμαρτίαι πολλοῖς εἰσι τρόποις. Ἀναιρεῖ δὲ καὶ τὴν Λευκίππου καὶ Δημοκρίτου δόξαν, οἳ κινεῖσθαι τὰ πρῶτα σώματα καὶ ἄπειρα ἔλεγον ἀεὶ ἐν τῷ ἀπείρῳ κενῷ· ὧν βέλτιον φησὶ τοὺς περὶ Ἀναξαγόραν λέγειν ἐξ ἀκινήτου κοσμοποιοῦντας· ἐξ ἠρεμίας γάρ τινος καὶ ἀκινησίας εὔλογον εἶναι μᾶλλον τὴν γένεσιν. Εἶτα, δείξας ὡς ἔστι κατὰ φύσιν ἑκάστου τῶν σωμάτων κίνησις, δείκνυσιν ὅτι διὰ τὴν τοῦ βάρους ῥοπὴν καὶ τῆς κουφότητος ἔστιν αὐτοῖς ἡ κίνησις, καὶ ὡς ἀδύνατον τὰ μήτε βάρος ἔχοντα μήτε κουφότητα ἢ κατὰ φύσιν, ἢ βίᾳ κινεῖσθαι, καὶ τίς ἡ βίᾳ κινοῦσα δύναμις.

Ὅτι ἀδύνατον πάντων εἶναι γένεσιν, ἀλλ' ἀνάγκη τινῶν εἶναι γένεσιν.

Ὅτι στοιχεῖον ἐστὶν εἰς ὃ διαιρεῖται τὰ σώματα· ἢ δυνάμει ἐνυπάρχει, ἢ ἐνεργείᾳ, καὶ ἀδιαίρετον αὐτὸ ὄν.

Ὅτι ἀνάγκη εἶναι τινὰ σώματα ἁπλᾶ καὶ στοιχειώδη, διότι καὶ ἁπλαῖς κινοῦνται κινήσεσιν.

Ὅτι ἀνάγκη μὴ εἶναι ταῦτα ἄπειρα, ὡς ἔνιοι ἔλεγον καὶ μάλιστα οἱ περὶ Ἀναξαγόραν τὰς ὁμοιομερίας, καὶ οἱ περὶ Δημόκριτον καὶ Λεύκιππον τὰ ἄτομα· οὓς καὶ ἐλέγχει. Εἰ γὰρ ἑκάστῳ τῶν στοιχείων ἔστι τις οἰκεία κίνησις, καὶ τῶν ἁπλῶν ἁπλαῖ εἰσιν αἱ κινήσεις, αἱ δ' ἁπλαῖ αὖ εἰσιν ἄπειροι, πῶς ἂν εἶεν ἄπειρα τὰ στοιχεῖα;

Ὅτι οὐδὲ ἕν ἐστι τὸ στοιχεῖον, ὡς ἔνιοι ἔλεγον. Καὶ τὴν αὐτῶν ἀνατρέπει θέσιν, οἳ τὸ ὕδωρ ἔλεγον, καὶ οἳ τὸ πῦρ ἄνευ τῶν ἄλλων στοιχείων.

Ὅτι ἀδύνατον εἶναι τὰ στοιχεῖα ἀΐδια, ἀλλὰ φθαρτά εἰσι καὶ γενητά· καὶ εἰ γίνονται, ἐπεὶ οὔτε δι' ἀσωμάτου γίνεσθαι δυνατόν, οὔτε ἐξ ἄλλου τινὸς σώματος, λείπεται ἐξ ἀλλήλων ταῦτα γίνεσθαι· γίνεσθαι μέντοι οὐ κατὰ ἔκκρισιν· ἐπιλείψειε γὰρ ἄν ποτε· ἀλλ' οὐδὲ μετασχηματίσει τινί, καθάπερ ἐκ τοῦ αὐτοῦ κηροῦ διάφορα μετασχηματιζομένου γίνονται σφαῖραι καὶ κύβοι καὶ τρίγωνα· οὐ γὰρ ἔστι τοῖς στοιχείοις ὡρισμένα σχήματα κατὰ φύσιν, οὐδὲ σχῆμα σχήματι ἐστὶν ἐναντίον· ἐναντιότητες δὲ ἐν στοιχείοις.

## Sur le livre IV.

f. 204 Ἐκ τοῦ τετάρτου.

Ὅτι τὸ βαρὺ καὶ τὸ κοῦφον ἢ ἡ βαρύτης καὶ κουφότης, καὶ ὅλως ἡ τοιάδε ῥοπή, γένος ὥσπερ οὖσα βαρύτητος καὶ κουφότητος, οἱονεὶ ζώπυρά τινα τὴν κίνησιν ἐξάπτουσι τοῖς σώμασι πρὸς διαφόρους τὰς σχέσεις τε καὶ τοὺς τόπους. Λέγεται μὲν οὖν τὸ βαρὺ καὶ τὸ κοῦφον κατὰ σύγκρισιν, ὥσπερ ὁ χαλκὸς τοῦ ξύλου βαρύτερος λέγεται. Λέγεται δὲ καὶ ἁπλῶς περὶ οὗ μάλιστα δεῖ τὸν φυσικὸν σκοπεῖν καὶ ἅμα σοφώτερον. Ἐπεὶ τοίνυν τοῦ οὐρανοῦ ἤτοι τοῦ παντὸς κόσμου τὸ μέν ἐστιν ἄνω, τὸ

ΙΩΑΝΝΙΝΑ 2006

δὲ κάτω, ἄνω μὲν τὸ ἔσχατον αὐτοῦ, κάτω δὲ τὸ μεσαίτατον, τὰ μὲν τῶν φερομένων σωμάτων πέφυκεν ἀπὸ τοῦ μέσου φέρεσθαι, ἃ καὶ ἄνω φέρεσθαι λέγονται· τὰ δὲ πρὸς τὸ μέσον πέφυκε φέρεσθαι, ἃ καὶ κάτω φέρεσθαι λέγονται. Κοῦφον μὲν οὖν ἐστιν ἁπλῶς τὸ ἄνω φερόμενον, βαρὺ δὲ τὸ κάτω.

Εἶτα ἐλέγχει τὴν Πλάτωνος θέσιν ἐν Τιμαίῳ, ὅτι βαρύτερόν ἐστι τὸ ἐκ πλειόνων συνεστηκὸς τῶν αὐτῶν, ἤτοι ἐπιπέδων, ἢ τριγώνων, ἢ ὡντινωνοῦν, καὶ κουφότερον τὸ ἐξ ἐλαττόνων. Εἶτα τὴν Δημοκρίτου δόξαν ἐλέγχει καὶ ἄλλων, καὶ μετὰ τὸ ἀναστρέψαι τὰς τῶν ἄλλων δόξας, τίθησι τὴν αὐτοῦ· πρὶν δὲ διορίσασθαι περὶ τοῦ βαρέος καὶ κούφου, ζητεῖ τὴν αἰτίαν τοῦ τὰ μὲν ἄνω φέρεσθαι, τὰ δὲ κάτω, τὰ δὲ ἐπαμφοτερίζειν, καὶ φησὶν ὅτι, τῆς κινήσεως ἢ ἐν ποσῷ οὔσης, ὡς ἡ αὔξησίς ἐστι καὶ ἡ φθίσις, ἢ ἐν ποιῷ, ὡς ἡ κατὰ τὰ πάθη ἀλλοίωσις, ἢ ἐν τῷ ποῦ, ὡς ἡ κατὰ τόπον φορά· ἡ γὰρ γένεσις καὶ φθορά, περὶ τὴν οὐσίαν οὖσα, οὐκ ἔστι κυρίως κίνησις, ὡς ἐδείχθη ἐν τῷ περὶ φυσικῶν ἀρχῶν· φανερόν ἐστιν, ὅτι ἐπὶ τῶν δύο κινήσεων, τῆς ἐν ποσῷ καὶ ποιῷ, οὐ τὸ τυχὸν ὑπὸ τοῦ τυχόντος μεταβάλλει, ἀλλ' ὑφ' οὗ πέφυκε μεταβάλλειν· οὐδ' εἰς τὸ τυχὸν μεταβάλλει, ἀλλ' εἰς τὸ αὐτῷ ἐναντίον, ἢ τὸ μεταξύ· τὸ γὰρ θερμαντὸν ὑπὸ τοῦ θερμαντικοῦ μεταβάλλει, τοῦ κατὰ φύσιν καὶ ἐνεργείᾳ θερμοῦ, καὶ οὐκ εἰς λευκόν, ἀλλ' εἰς ψυχρόν, ἢ χλιαρόν, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. Καὶ ἐπὶ τῆς κατὰ τόπον ἄρα φορᾶς οὕτως ἔχειν δεῖ. Ἔστι τοίνυν κινητικὸν φύσει τοῦ κατὰ τόπον κινητοῦ τὸ κουφιστικὸν καὶ τὸ βαρυντικόν. Οὐκοῦν καὶ τὸ κατὰ τόπον κινητόν, δυνάμει κοῦφον ὄν, ἢ δυνάμει βαρύ, μεταβάλλει ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ εἶναι ὑπὸ τοῦ βαρυντικοῦ, ἢ κουφιστικοῦ, καὶ οὕτω φέρεται τὸ φερόμενον ἢ ἄνω, ἢ κάτω, ὡς εἰς τελειότητα | καὶ τὸ οἰκεῖον εἶδος, ὡς εὐλόγως δοκεῖν ὑπὸ f. 204ᵛ
τῶν ἀρχαίων λεγόμενον, ὅτι τὸ ὅμοιον πρὸς τὸ ὅμοιον φέρεται. Διὸ καὶ τὰ ἐφεξῆς ἀλλήλοις ἁπλᾶ σώματα ὡς τόπος ἀλλήλοις γινόμενα καὶ ἀλλήλοις ὅμοια λέγοιντ' ἄν, οἷον ἡ γῆ μὲν τῷ ὕδατι, τὸ δὲ ὕδωρ τῷ πυρί, τῷ δὲ πυρὶ ὁ ἀήρ· δι' ὁμοιότητα γὰρ καὶ τὴν ἑτοιμότητα ἔχει τῆς εἰς ἄλληλα μεταβολῆς. Καὶ τὰ μὲν μεταξὺ τόπος ἀλλήλοις, γῆ δὲ καὶ πῦρ ὡς ἄκρα τὴν μίαν σχέσιν ἔχει μόνον τῆς ὁμοιότητος καὶ τῆς μεταβολῆς· οὔτε γὰρ τὸ πῦρ πρὸς ἄλλο τι ἔχει ἐπιπολάζειν, οὔτε ἡ γῆ πρὸς ἄλλο τι ὑφιστάμενον· τὰ δὲ μεταξὺ πρὸς ἑκάτερον φερόμενα δι' ἀλλήλων μεταβάλλουσι, τὰ μὲν ὑπὲρ γῆν ἄνω μέχρι πυρός, τὰ δὲ μετὰ τὸ πῦρ κάτω μέχρι τῆς γῆς, δυνάμει μὲν ἔχοντα τὸ φέρεσθαι οὕτω, τελειούμενα δέ, ἐπειδὰν τὸν οἰκεῖον λάβωσι τόπον. Ὥσπερ οὖν τὸ ὑγιαστὸν εἰς ὑγείαν ἔρχεται, καὶ τὸ αὐξητὸν εἰς αὔξησιν τὴν οἰκείαν, οὕτω καὶ τὸ φερόμενον ἢ τὸ κινητὸν εἰς τὴν κατὰ φύσιν ἔρχεται λῆξιν, ἄνω μὲν τὸ κοῦφον, κάτω δὲ τὸ βαρύ, οὐκ ἔξωθεν ἔχοντα τὴν ἀρχὴν τῆς κινήσεως, ὡς τὸ ὑγιαστὸν

Ε.Υ.Π.Τ.Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

καὶ αὐξητόν· κἂν γὰρ ὑφ' ἑαυτῶν τὸ πλεῖστον κινῆται ταῦτα, ἀλλὰ δεῖ προσλαβεῖν ἔξωθεν τὴν ἀφορμὴν τῆς μεταβολῆς. Ἐπὶ δὲ τοῦ κούφου καὶ βαρέος ἡ δύναμις καὶ ἐπιτηδειότης ἡ φυσικὴ πρὸς τὸ ὧδέ πῃ κινεῖσθαι οὐ τὴν οὐσίαν μεταβάλλει ἢ βελτιοῖ προσθήκῃ τινί, ἀλλὰ μᾶλλον ὥσπερ ἕξει τινὶ τοῖς τελείοις πρεπούσῃ ἡ ἐνέργεια προσγίνεται μόνη. Καὶ τούτου σημεῖον, ὅτι τοῖς κατὰ τὸ ζῆν ἐμβάθμως τελειουμένοις ἐσχάτη καὶ ὥσπερ εἶδος τελειότητος προσγίνεται ἡ φορά· πρῶτον γὰρ σπέρμα, εἶτα ἔμβρυον, εἶτα ζῷον καὶ τοκετὸς καὶ ἀλλοιώσεις ἑξῆς καὶ αὐξήσεις καὶ τελευταῖον ἐπὶ πᾶσι τὸ κατὰ τόπον φέρεσθαι, καὶ τελειότερα αὖ τῶν ἐμψύχων καὶ ζῴων τὰ τὴν κατὰ τόπον ἔχοντα κίνησιν. Γίνεται δὲ ἡ φορὰ ἡ κατὰ τόπον οἰκεία ἑκάστῳ, ἂν μή τι κωλύῃ, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων κινήσεων.

Ὅτι βαρὺ μὲν ἁπλῶς τὸ πᾶσιν ὑφιστάμενον· κοῦφον δὲ ἁπλῶς τὸ πᾶσιν ἐπιπολάζον, ὥσπερ πῦρ μὲν κοῦφον, βαρὺ δὲ γῆ. Πρόσκειται δὲ τὸ ἁπλῶς διὰ τὰ ἐπαμφοτερίζοντα, τὸν ἀέρα καὶ τὸ ὕδωρ· τὸ γὰρ ὕδωρ ἐπιπολάζει μὲν τῇ γῇ, ὑφίσταται δὲ τῷ ἀέρι· καὶ ἀὴρ ἐπιπολάζει μὲν τῷ ὕδατι, ὑφίσταται δὲ τῷ πυρί. Καὶ τὰ ἐκ τῶν τεσσάρων τούτων σύνθετα κοῦφα, ἢ βαρέα λέγονται κατὰ τὸ ἐν αὐτοῖς πλεονάζον ἐκ τῶν τεσσάρων τούτων, οἷον τὰ μὲν πλεῖστον μετέχοντα γῆς πανταχοῦ βάρος ἔχει· τὰ δὲ ὕδατος, πανταχοῦ, πλὴν ἐν τῇ γῇ· ἐν αὐτῇ γὰρ ἐπιπολάζει τὸ ὕδωρ·
f. 205 | καὶ ἀήρ, ἢ τὸ μετέχον πλεῖστον ἀέρος, πανταχοῦ βαρέα, πλὴν ἐν τῷ ὕδατι καὶ τῇ γῇ· ἐν αὐτοῖς γὰρ ἐπιπολάζουσιν ἀεί· ἕκαστον δὲ ἐν τῇ ἑαυτοῦ χώρᾳ βάρος ἔχει πλὴν τοῦ πυρός· ὡς ἔσχατον γὰρ ἀεὶ καὶ πανταχοῦ κοῦφόν ἐστιν· ὅθεν τάλαντον ξύλου ἐν ἀέρι βαρύτερον ἢ μνᾶ μολίβδου· ἐν τῷ ὕδατι μέντοι κουφότερον, διότι πλεῖστον μετέχει ἀέρος, ὃς ἐπιπολάζει τῷ ὕδατι· μόλιβδος δὲ πλεῖστον γῆς, ἣ τῷ ὕδατι ὑφίσταται.

Ὅτι μόνον τὸ πῦρ ἁπλῶς κοῦφον ἤγουν ἀεί, καὶ μόνη γῆ ἁπλῶς βαρύ, καὶ ἀεὶ κάτω φέρεται, ταὐτὸν δὲ εἰπεῖν, πρὸς τὸ μέσον· τὸ δὲ μέσον ὥρισται· οὐ γὰρ ἐνδέχεται εἰς ἄπειρον φέρεσθαι, οὐδὲ εἰς ὃ δὴ μέσον πάντα τὰ βαρέα καὶ λήγουσι καὶ συνάπτονται· διὸ καὶ τὸ ἔσχατον ὡρίσθαι ἀνάγκη ὡς τῷ μέσῳ ἀντικείμενον, ὅς ἐστιν ὁ τοῦ πυρὸς τόπος. Ἔχει δὲ τὸ βαρὺ πρὸς τὸ κοῦφον λόγον ὕλης, καὶ τὸ κοῦφον πρὸς τὸ βαρὺ εἴδους λόγον· διὸ περιέχει μὲν τὸ πῦρ ὡς εἶδος, περιέχεται δὲ ὡς ὕλη ἡ γῆ· τὰ δὲ μεταξὺ τούτων, διαφόρως καὶ πρὸς ἄλλο καὶ ἄλλο τοῦ λόγου κοινωνοῦντα τῆς ὕλης καὶ τοῦ εἴδους, εὐλόγως καὶ τοὺς τόπους οὐ τοὺς αὐτοὺς ἀεὶ ἔχουσιν, ἀλλὰ τοὺς ἀλλήλων μεταλαμβάνουσιν ἀλλοιούμενα. Τεττάρων δὲ ὄντων τῶν ἁπλῶν τούτων λεγομένων σωμάτων, τετραπλῆ ἐστιν αὐτοῖς ἡ κατὰ τὴν ὕλην διαφορά, ἥτις ἐστὶν αἰτία τοῦ ἄνω καὶ κάτω φέρεσθαι, οὐ τὰ σχήματα αὐτῶν, ὥς τινες ἔλεγον· δύναται γάρ πως τὸ σχῆμα συντελεῖν πρὸς τὸ κινεῖσθαι, ἀλλ' οὐ πρὸς τὸ ἄνω κινεῖσθαι, ἢ κάτω· πρὸς δὲ τὸ θᾶττον, ἢ βράδιον, ὥσπερ τὰ πλωτέα καὶ

Ε.Υ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

βάρος ἔχοντα ἐπιπολάζουσι τῷ ὕδατι καὶ οὐ καταδύονται. Τὰ δὲ σφαιρικὰ ἢ μακρά, ὡς ἡ βελόνη, καὶ ὀλίγον ἔχοντα βάρους καταδύονται, ὡς τὰ ψήγματα ἐπιπλεῖ καὶ τὰ κονιορτώδη ἐπιπολάζει τῷ ἀέρι· αἴτιον δέ, ὅτι ἡ ἐκ τοῦ ὕδατος ἀναφερομένη θερμὴ ἀναπνοὴ ἀνακωχεύει τὰ πλάτος ἔχοντα ὡς ἀντιτυποῦντα διὰ τὸ πλάτος· τὰ δὲ μὴ ἔχοντα πλάτος οὐ δύναται ἀνακωχεύειν, θᾶττον φερόμενα καὶ μὴ ἀντιτυποῦντα τῇ ἀναπνοῇ. Τοῦτο δὲ ἐπὶ τοῦ ἀέρος οὐ γίνεται ὁμοίως καὶ ἐπὶ τοῦ ὕδατος διὰ τὸ λεπτομερέστερον καὶ διαλελυμένον τῶν αὐτοῦ ἀέρος ἀναφορῶν. Καθόλου δὲ τὰ μὲν μᾶλλον διαιρετικὰ καταδύονται, τὰ δὲ ἧττον διαιρετικὰ ἐπιπολάζουσιν, ὅπερ ἢ ἐκ τῆς διαθέσεως τῆς ὑλικῆς συμβαίνει, ἢ ἐκ τοῦ σχήματος. Ψήγματα μὲν γὰρ καὶ τὰ κονιορτώδη ὡς μὴ πυκνότητα ἔχοντα οὐ διαιροῦσι πάνυ τὸ ὕδωρ, ἢ τὸν ἀέρα· τὰ δὲ πλάτος | ἔχοντα ὡς πολὺ f. 205 v τοῦ ὑποκειμένου σώματος ἐπιλαμβάνοντα. Καὶ τῶν ὑποκειμένων δὲ τὰ μὲν εὐπαθέστερα καὶ διασπώμενα μᾶλλον, καὶ διὰ τοῦτο μᾶλλον ὑποχωρεῖ τοῖς διαιροῦσι· τὰ δὲ ἔκ τινος πάθους παχύτερα ὄντα μᾶλλον ἀντέχουσιν:

## III.

# Annotations sur les trois livres du „de anima“.

## Sur le livre I.

### *ΣΗΜΕΙΩΣΕΙΣ ΕΚ ΤΩΝ ΠΕΡΙ ΨΥΧΗΣ ΒΙΒΛΙΩΝ ΤΡΙΩΝ.*

### Ἐκ τοῦ πρώτου.

Ὅτι πᾶσα γνῶσις ἐπιστημονικὴ τιμία· Ἔστι δὲ ἄλλη ἄλλης βελτίων ἢ διὰ τὸ εἶναι ἀκριβεστέρα, ὡς γεωμετρία ἰατρικῆς, ἢ τῷ εἶναι περὶ τιμιώτερον ὑποκείμενον, ὡς ἀστρονομία γεωμετρίας. Κατ' ἄμφω δὲ ἡ περὶ ψυχῆς πραγματεία καλὴ καὶ τιμία καὶ βελτίων ἢ κατὰ πολλάς· τὸ μὲν γὰρ ὑποκείμενον αὐτῆς ἄϋλον, ᾧ καὶ νοῦς συνουσίωται· ἡ δὲ θεωρία ἀκολούθως ἀκριβεστέρα διὰ τὴν τοῦ ὑποκειμένου ἀϋλίαν καὶ βεβαιότητα.

Ὅτι πρὸς πλεῖστα συμβάλλεται ἡ περὶ ψυχῆς θεωρία· πρὸς τὴν θεολογικὴν ἐπιστήμην καὶ πρὸς ἠθικὴν καὶ πρὸς τὴν φυσικὴν μάλιστα, ὅτι πολὺ τὸ αἰτιῶδες καὶ ἀρχικὸν τῇ ψυχῇ πρόσεστι πρός γε τὸ σῶμα· διὸ καὶ τῶν χαλεπωτάτων ἐστὶν ἡ περὶ αὐτῆς ἐπιστήμη καὶ τὸ τί ἐστιν αὐτῆς γνῶναι διά τε τὴν τοῦ ὁρίζεσθαι δυσχέρειαν πανταχοῦ καὶ ἰδίως περὶ αὐτῆς, πολλῶν τε ἰδίων περὶ αὐτὴν ζητουμένων καὶ θεωρουμένων καὶ πλειόνων τῶν πρὸς τὸ σῶμα κοινῶν· τὸ γὰρ αἰσθάνεσθαι καὶ θυμεῖσθαι καὶ ὀρέγεσθαι καὶ πρὸς τὸ σύνθετον ἀνήκει· τὸ δὲ νοεῖν καὶ λογίζεσθαι ἰδίως ἐστὶ τῆς ψυχῆς.

Ὅτι δεῖ προὔργου ζητεῖν περὶ ψυχῆς ὑπὸ ποῖον γένος ἀνάγεται. Οἱ μὲν γὰρ οὐσίαν αὐτὴν τιθέασιν, ὡς Ξενοκράτης· οἱ δὲ ποσόν, οἱ δὲ πρὸς

Ε.Υ. Δ.Π.Θ. ΙΩΑΝΝΙΝΑ 2006